| | |
|---|---|
| βλοσυρὰν δ' ἐξέβαλλεν ἄ- | ion. ia. |
| χναν ἐπανερευγόμενος | cr. cho. |
| στόματι βρύχιον ἅλμαν· | cr. ba. |
| φυγᾶι δὲ πάλιν ἵετο Πέρ- | ia. cho. |
| σης στρατὸς βάρβαρος ἐπισπέρχων | tro. cr. sp.? |
| ἄλλα δ' ἄλλαν θραῦεν σύρτις | 4 sp. |
| μακραυχενό- | ia. |
| πλους, χειρῶν δ' ἔγβαλλον ὀρεί- | cho. dim. |
| ους πόδας ναός, στόματος | „ |
| δ' ἐξήλλοντο μαρμαροφεγ- | „ |
| γεῖς παῖδες συγκρουόμενοι· | „ |
| κατάστερος δὲ πόντος ἐγ | 2 ia. |
| λιποπνόης ...[.]στερέσιν | [ ] |
| ἐγάργαιρε σώμασιν, | ba. ia. |
| ἐβρίθοντο δ' ἀϊόνες. | cho. dim. |
| ο[ἱ] δ' ἐπ' ἀκταῖς ἐνάλοις | cr. cho. |
| ἥμενοι γυμνοπαγεῖς | „ |
| ἀυτᾶι τε καὶ δακρυ- | ba. ia. |
| σταγεῖ [γ]όωι | ia. |
| στερνοκτύπωι γοηταὶ | ia. ba. |
| θρηνώδει κατείχοντ' ὀδυρμῶι· | sp. cr. tro. |
| ἅμα δὲ [γᾶν] πατρίαν ἐπανε- | glyc. |
| κα[λ]έοντ'· ἰὼ Μύσιαι | ia. cr. |